UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Tēs Kainēs Diathēkēs Hapanta ...

**[S.l.], [1573]**

Αποκαλυψις Του Αγιου Αποστολου Και Ευαγγελιστου Ιωαννου Του Θεολογου.

urn:nbn:de:hbz:466:1-71715

Visual Library

βείας, τὴν τοῦ θεοῦ ἡμῶν χάριν μετατιθέντες
εἰς ἀσέλγειαν, καὶ τὸν μόνον θεὸν καὶ δεσπότην
τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν ἀρνούμενοι.
5 ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς
ἅπαξ τοῦτο, ὅτι ὁ κύριος λαὸν ἐκ γῆς αἰγύ-
πτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαν-
6 τας ἀπώλεσεν. ἀγγέλους τε τοὺς μὴ τηρή-
σαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόν-
τας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγά-
λης ἡμέρας, δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τε-
7 τήρηκεν. ὡς σόδομα, καὶ γόμοῤῥα, καὶ αἱ περὶ
αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκ-
πορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς
ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου
8 δίκην ὑπέχουσαι. ὁμοίως μέντοι καὶ οὗτοι
ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυ-
ριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦ-
9 σιν. ὁ δὲ μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ δια-
βόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ
μωυσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐ-
πενεγκεῖν βλασφημίας· ἀλλ' εἶπεν, ἐπιτι-
μήσαι σοι κύριος. οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδα-
10 σι, βλασφημοῦσιν· ὅσα δὲ φυσικῶς ὡς τὰ
ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται.
11 οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ κάϊν ἐπορεύθησαν,
καὶ τῇ πλάνῃ τοῦ βαλαὰμ μισθοῦ ἐξεχύθη-
σαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ κορὲ ἀπώλοντο.
12 οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες,
συνευωχούμενοι ὑμῖν, ἀφόβως ἑαυτοὺς ποι-
μαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων
παραφερόμεναι, δένδρα φθινοπωρινὰ, ἄ-
13 καρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα· κύ-
ματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς
ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται· οἷς ὁ ζό-
φος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. προεφή- 14
τευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ ἀδὰμ
ἐνὼχ, λέγων, Ἰδοὺ ἦλθε κύριος ἐν ἁγίαις
μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάν- 15
των, καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν,
περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν
ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλά-
λησαν κατ' αὐτοῦ, ἁμαρτωλοὶ ἀσεβεῖς. οὗτοί 16
εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπι-
θυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν
λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα
ὠφελείας χάριν. ὑμεῖς δὲ, ἀγαπητοὶ, μνή- 17
σθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν
ἀποστόλων τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ὅτι 18
ἔλεγον ὑμῖν, ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται
ἐμπαῖκται, κατὰ τὰς ἐπιθυμίας ἑαυτῶν πο- 19
ρευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀποδιο-
ρίζοντες, ψυχικοὶ, πνεῦμα μὴ ἔχοντες. ὑμεῖς 20
δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ἡμῶν πίστει ἐ-
ποικοδομοῦντες ἑαυτοὺς, ἐν πνεύματι ἁγίῳ
προσευχόμενοι, ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τη- 21
ρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ, εἰς ζωὴν αἰώνιον· καὶ οὓς 22
μὲν ἐλεεῖτε διακρινόμενοι· οὓς δὲ ἐν φόβῳ 23
σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες
καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.
τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους, 24
καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώ-
μους ἐν ἀγαλλιάσει· μόνῳ σοφῷ θεῷ σω- 25
τῆρι ἡμῶν δόξα καὶ μεγαλωσύνη, κράτος
καὶ ἐξουσία, καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶ-
νας. ἀμήν.

# ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

α.

1 ΑΠΟΚΑΛΥΨΙΣ ἰη-
σοῦ χριστοῦ, ἣν ἔδωκεν αὐ-
τῷ ὁ θεὸς, δεῖξαι τοῖς δού-
λοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν
τάχει· καὶ ἐσήμανεν ἀπο-
στείλας διὰ τοῦ ἀγγέλου
2 αὐτοῦ τῷ δούλῳ αὐτοῦ ἰωάννῃ· ὃς ἐμαρτύρη-
σε τὸν λόγον τοῦ θεοῦ, καὶ τὴν μαρτυρίαν ἰησοῦ
χριστοῦ, ὅσα εἶδε καὶ ἅτινά εἰσι, καὶ ἃ χρὴ γε-
3 νέσθαι μετὰ ταῦτα. μακάριος ὁ ἀναγινώσκων,
καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ
τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ
4 καιρὸς ἐγγύς. ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς
ἐν τῇ ἀσίᾳ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὁ ὢν
καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευ-
μάτων, ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ, καὶ 5
ἀπὸ ἰησοῦ χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρω-
τότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασι-
λέων τῆς γῆς· τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λού-
σαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ
αἵματι αὐτοῦ· καὶ ἐποίησεν ἡμᾶς βασι- 6
λείαν καὶ ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ·
αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν. ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, 7
καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν
ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι
αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν. ἐγώ εἰμι τὸ

Α καὶ τὸ Ω, λέγει ὁ κύριος ὁ θεὸς, ὁ ὢν καὶ ὁ
9 ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ. ἐγὼ
ἰωάννης ὁ ἀδελφὸς ὑμῶν καὶ κοινωνὸς ἐν τῇ
θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν χριστῷ
ἰησοῦ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ
πάτμῳ, διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ διὰ τὴν
10 μαρτυρίαν ἰησοῦ χριστοῦ. ἐγενόμην ἐν πνεύ-
ματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα φω-
11 νὴν ὀπίσω μου μεγάλην ὡς σάλπιγγος λε-
γούσης, ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ
πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις, εἰς ἔφεσον, καὶ
εἰς σμύρναν, καὶ εἰς πέργαμον, καὶ εἰς θυάτει-
ρα, καὶ εἰς σάρδεις, καὶ εἰς φιλαδέλφειαν, καὶ
12 εἰς λαοδίκειαν. καὶ ἐκεῖ ἐπέστρεψα βλέπειν
τὴν φωνὴν ἥτις ἐλάλει μετ' ἐμοῦ. καὶ ἐπιστρέ-
13 ψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς, καὶ ἐν μέσῳ
τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδε-
δυμένον ποδήρη, καὶ περιεζωσμένον πρὸς τοῖς
14 μαζοῖς ζώνην χρυσῆν. ἡ δὲ κεφαλὴ αὐτοῦ
καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκόν, ὡς
χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός.
15 καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν
καμίνῳ πεπυρωμένοι· καὶ ἡ φωνὴ αὐτοῦ ὡς
16 φωνὴ ὑδάτων πολλῶν. καὶ ἔχων ἐν τῇ δεξιᾷ
αὐτοῦ χειρὶ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος
αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομέ-
νη· καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ
17 δυνάμει αὐτοῦ. καὶ ὅτε εἶδον αὐτόν, ἔπεσα
πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός· καὶ ἐπέθηκε
τὴν δεξίαν αὐτοῦ χεῖρα ἐπ' ἐμέ, λέγων, μὴ
18 φοβοῦ, ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ
ὁ ζῶν· καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμι
εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· καὶ ἔχω
19 τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου. γράψον οὖν
ἃ εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι μετὰ
20 ταῦτα. τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν
εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυ-
χνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες, ἄγγελοι
τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι· καὶ αἱ ἑπτὰ λυχνίαι
ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί.

β'.

1 Τῷ ἀγγέλῳ τῆς ἐκκλησίας ἐν ἐφέσῳ γρά-
ψον· τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας
ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν
2 ἑπτὰ λυχνιῶν τῶν χρυσῶν. οἶδα τὰ ἔργα σου
καὶ τὸν κόπον καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύ-
νῃ βαστάσαι κακούς, καὶ ἐπείρασας τοὺς λέ-
γοντας ἑαυτοὺς ἀποστόλους εἶναι, καὶ οὐκ εἰσί· καὶ
3 εὗρες αὐτοὺς ψευδεῖς, καὶ ἐβάστασας, καὶ ὑπο-
μονὴν ἔχεις διὰ τὸ ὄνομά μου, καὶ οὐκ ἐκο-
4 πίασας. ἀλλὰ ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην
5 σου τὴν πρώτην ἀφῆκας. μνημόνευε οὖν πό-
θεν ἐκπέπτωκας, καὶ μετανόησον, καὶ τὰ
πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι
ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου
αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. ἀλλὰ τοῦτο ἔχεις, 6
ὅτι μισεῖς τὰ ἔργα τῶν νικολαϊτῶν, ἃ κἀγὼ
μισῶ. ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα 7
λέγει ταῖς ἐκκλησίαις· τῷ νικῶντι δώσω φα-
γεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ
παραδείσου τοῦ θεοῦ μου. καὶ τῷ ἀγγέλῳ τῆς ἐν 8
σμύρνῃ ἐκκλησίας γράψον· τάδε λέγει ὁ
πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς, καὶ
ἔζησεν. οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν, καὶ τὴν 9
πτωχείαν, ἀλλὰ πλούσιος εἶ· καὶ τὴν βλασφη-
μίαν τῶν λεγόντων ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ
εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ. μηδὲν 10
φοβοῦ ἃ μέλλεις πάσχειν· ἰδοὺ δὴ μέλλει βα-
λεῖν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακήν, ἵνα
πειρασθῆτε. καὶ ἕξετε θλίψιν ἡμερῶν δέ-
κα. γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι
τὸν στέφανον τῆς ζωῆς. ὁ ἔχων οὖς, ἀκουσάτω τί 11
τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· ὁ νικῶν, οὐ
μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου. καὶ 12
τῷ ἀγγέλῳ τῆς ἐν περγάμῳ ἐκκλησίας γρά-
ψον· τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δί-
στομον τὴν ὀξεῖαν· οἶδα τὰ ἔργα σου, καὶ ποῦ 13
κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ σατανᾶ, καὶ κρα-
τεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν
μου, ἐν ταῖς ἡμέραις ἐν αἷς ἀντίπας ὁ μάρτυς
μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου ὁ
σατανᾶς κατοικεῖ. ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, 14
ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν βα-
λαὰμ, ὃς ἐδίδαξε τὸν βαλὰκ βαλεῖν σκάν-
δαλον, ἐνώπιον τῶν υἱῶν ἰσραήλ, φαγεῖν εἰ-
δωλόθυτα, καὶ πορνεῦσαι. οὕτως ἔχεις καὶ σὺ 15
κρατοῦντας τὴν διδαχὴν τῶν νικολαϊτῶν. ὁμοίως 16
μετανόησον. εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ, καὶ
πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ
στόματός μου. ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ 17
πνεῦμα λέγει ταῖς ἐκκλησίαις· τῷ νικῶντι
δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κε-
κρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκήν, καὶ
ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ
οὐδεὶς ἔγνω, εἰ μὴ ὁ λαμβάνων. καὶ τῷ ἀγγέ- 18
λῳ τῆς ἐν θυατείροις ἐκκλησίας γράψον· τά-
δε λέγει ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς
αὐτοῦ ὡς φλόγα πυρός, καὶ οἱ πόδες αὐτοῦ ὅ-
μοιοι χαλκολιβάνῳ· οἶδά σου τὰ ἔργα, καὶ τὴν 19
ἀγάπην, καὶ τὴν πίστιν, καὶ τὴν διακονίαν, καὶ τὴν
ὑπομονήν σου, καὶ τὰ ἔργα σου τὰ ἔσχατα
πλείονα τῶν πρώτων. ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι 20
ἐᾷς τὴν γυναῖκα σου τὴν ἰεζάβελ, ἣ λέγει ἑαυτὴν
προφῆτιν, καὶ διδάσκει, καὶ πλανᾷ τοὺς ἐμοὺς



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

21 δούλους, πορνεῦσαι, καὶ φαγεῖν εἰδωλόθυτα. καὶ
ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ, καὶ οὐ
22 θέλει μετανοῆσαι ἐκ τῆς πορνείας αὐτῆς. ἰδοὺ
βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας
μετ' αὐτῆς, εἰς θλίψιν μεγάλην, ἐὰν μὴ με-
23 τανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν. καὶ τὰ τέκνα
αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ· καὶ γνώσονται
πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι ὁ ἐρευ-
νῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκά-
24 στῳ κατὰ τὰ ἔργα ὑμῶν. ὑμῖν δὲ λέγω, τοῖς
λοιποῖς τοῖς ἐν θυατείροις, ὅσοι οὐκ ἔχουσι
τὴν διδαχὴν ταύτην, οἵτινες οὐκ ἔγνωσαν τὰ
βαθέα τοῦ σατανᾶ, ὡς λέγουσιν· οὐ βαλῶ ἐφ'
25 ὑμᾶς ἄλλο βάρος. πλὴν ὃ ἔχετε, κρατή-
26 σατε ἄχρις οὗ ἂν ἥξω. καὶ ὁ νικῶν, καὶ ὁ τη-
ρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ
27 ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, καὶ ποιμανεῖ αὐτοὺς
ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κερα-
28 μικὰ συντριβήσεται· ὡς κἀγὼ εἴληφα πα-
ρὰ τοῦ πατρός μου· καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν
29 πρωϊνόν. ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦ-
μα λέγει ταῖς ἐκκλησίαις.

γ'.

1 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν σάρδεσιν ἐκκλη-
σίας γράψον· τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ
πνεύματα τοῦ θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας, οἶ-
δά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις ὅτι ζῇς, καὶ
2 νεκρὸς εἶ. γίνου γρηγορῶν, καὶ στήριξον τὰ
λοιπὰ ἃ ἔμελλες ἀποβαλεῖν. οὐ γὰρ εὕρηκά
σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ θεοῦ
3 μου. μνημόνευε οὖν πῶς εἴληφας, καὶ ἤκουσας,
καὶ τήρει, καὶ μετανόησον. ἐὰν οὖν μὴ γρηγορή-
σῃς, ἥξω ἐπὶ σὲ ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς
4 ποίαν ὥραν ἥξω ἐπὶ σέ. ἀλλ' ὀλίγα ἔχεις ὀ-
νόματα ἐν σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱ-
μάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ
5 ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν. ὁ νικῶν, οὗτος πε-
ριβαλεῖται ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ
ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς
ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον
τοῦ πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.
6 ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς
7 ἐκκλησίαις. καὶ τῷ ἀγγέλῳ τῆς ἐν φιλαδελ-
φείᾳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἅ-
γιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖν τοῦ δαβίδ,
ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείει αὐτήν, εἰ μὴ ὁ
8 ἀνοίγων, καὶ οὐδεὶς ἀνοίξει. οἶδά σου τὰ ἔρ-
γα. ἰδοὺ δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳ-
γμένην, ἣν οὐδεὶς δύναται κλεῖσαι αὐτήν·
ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου
9 τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. ἰδοὺ δί-
δωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ, τῶν λε-
γόντων ἑαυτοὺς ἰουδαίους εἶναι, καὶ οὐκ εἰσίν, ἀλλὰ
ψεύδονται. ἰδοὺ ποιήσω αὐτούς, ἵνα ἥξωσι, καὶ
προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ
γνῶσιν ὅτι ἠγάπησά σε· ὅτι ἐτήρησας τὸν 10
λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ
τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι
ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοι-
κοῦντας ἐπὶ τῆς γῆς. ἔρχομαι ταχύ· κράτει ὃ 11
ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. ὁ νι- 12
κῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ
μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι· καὶ γράψω ἐπ'
αὐτὸν τὸ ὄνομα τοῦ θεοῦ μου, καὶ τὸ ὄνομα τῆς
πόλεως τοῦ θεοῦ μου τῆς καινῆς ἱερουσαλήμ, ἣ
καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ μου, καὶ
τὸ ὄνομά μου τὸ καινόν. ὁ ἔχων οὖς, ἀκουσάτω 13
τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις. καὶ τῷ 14
ἀγγέλῳ τῆς ἐν λαοδικείᾳ ἐκκλησίας γράψον·
τάδε λέγει ὁ ἀμήν, ὁ μάρτυς ὁ πιστός, καὶ
ἀληθινός, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ θεοῦ· οἶδά σου 15
τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός. ὄφε- 16
λον ψυχρὸς εἴης, ἢ ζεστός. οὕτως ὅτι χλιαρὸς
εἶ, καὶ οὔτε ζεστός, οὔτε ψυχρός, μέλλω σε ἐμέ-
σαι ἐκ τοῦ στόματός μου· ὅτι λέγεις, πλούσιός 17
εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν
ἔχω· καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος,
καὶ ὁ ἐλεεινός, καὶ πτωχός, καὶ τυφλός, καὶ γυ-
μνός. συμβουλεύω σοι ἀγοράσαι χρυσίον 18
παρ' ἐμοῦ πεπυρωμένον ἐκ πυρός, ἵνα πλου-
τήσῃς· καὶ ἱμάτια λευκά, ἵνα περιβάλῃ, καὶ μὴ
φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ
κολλούριον ἔγχρισον ἐπὶ τοὺς ὀφθαλμούς σου,
ἵνα βλέπῃς. ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ 19
παιδεύω. ζήλωσον οὖν, καὶ μετανόησον. ἰδοὺ ἕ- 20
στηκα ἐπὶ τὴν θύραν, καὶ κρούω. ἐάν τις ἀκούσῃ
τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, καὶ εἰσε-
λεύσομαι πρὸς αὐτόν, καὶ δειπνήσω μετ' αὐτοῦ,
καὶ αὐτὸς μετ' ἐμοῦ. ὁ νικῶν, δώσω αὐτῷ 21
καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀ-
γὼ ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός
μου ἐν τῷ θρόνῳ αὐτοῦ. ὁ ἔχων οὖς, ἀκουσάτω 22
τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

δ'.

Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἀνεῳ- 1
γμένη ἐν τῷ οὐρανῷ· καὶ ἡ φωνὴ ἡ πρώτη ἣν
ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέ-
γουσα, ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γε-
νέσθαι μετὰ ταῦτα. καὶ εὐθέως ἐγενόμην ἐν 2
πνεύματι· καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ,
καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, ὅμοιος ὁράσει 3
λίθῳ ἰάσπιδι, καὶ σαρδίῳ· καὶ ἶρις κυκλόθεν
τοῦ θρόνου ὁμοία ὁράσει σμαραγδίνῳ. καὶ κυ- 4
κλόθεν τοῦ θρόνου θρόνοι εἰκοσιτέσσαρες·



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἰκοσιτέσσα-
ρας πρεσβυτέρους καθημένους, περιβεβλη-
μένους ἐν ἱματίοις λευκοῖς· καὶ ἐπὶ τὰς κε-
5 φαλὰς αὐτῶν στεφάνους χρυσοῦς. καὶ ἐκ τοῦ θρό-
νου ἐκπορεύονται ἀστραπαὶ, καὶ φωναὶ, καὶ
βρονταί, καὶ ἑπτὰ λαμπάδες πυρὸς καιό-
μεναι ἐνώπιον τοῦ θρόνου αὐτοῦ, αἵ εἰσιν ἑπτὰ
6 πνεύματα τοῦ θεοῦ. καὶ ἐνώπιον τοῦ θρόνου
ὡς θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν
μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου τέσ-
σαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν
7 καὶ ὄπισθεν. καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον
λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ,
καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς
ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ
8 πετωμένῳ. καὶ τέσσαρα ζῶα, ἓν καθ᾽ ἓν αὐτῶν
ἔχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν
γέμουσιν ὀφθαλμῶν· καὶ ἀνάπαυσιν οὐκ ἔ-
χουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντα, ἅγιος,
ἅγιος, ἅγιος, ἅγιος, ἅγιος, ἅγιος, ἅγιος, ἅ-
γιος, ἅγιος κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ
9 ἦν, καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος. καὶ ὅταν δώσῃ
τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν
τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς
10 τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ εἰκοσι-
τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθη-
μένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ
ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ βάλ-
λουσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου,
11 λέγοντες, ἄξιος εἶ ὁ κύριος καὶ ὁ θεὸς ἡμῶν,
ὁ ἅγιος, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν, καὶ τὴν
δύναμιν· ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ
τὸ θέλημά σου εἰσὶ, καὶ ἐκτίσθησαν.

ε.

1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου
ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσω-
θεν καὶ ἔξωθεν, κατεσφραγισμένον σφρα-
2 γῖσιν ἑπτά. καὶ εἶδον ἄγγελον ἰσχυρὸν κη-
ρύσσοντα φωνῇ μεγάλῃ, τίς ἄξιος ἀνοῖξαι
τὸ βιβλίον, καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ;
3 καὶ οὐδεὶς ἐδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ τῆς
γῆς, οὐδὲ ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βι-
4 βλίον, οὐδὲ βλέπειν αὐτό. καὶ ἐγὼ ἔκλαιον
πολὺ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ ἀ-
5 ναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό. καὶ
εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι, μὴ κλαῖε,
ἰδοὺ ἐνίκησεν ὁ λέων, ὁ ἐκ τῆς φυλῆς ἰούδα, ἡ
ῥίζα δαβὶδ, ἀνοῖξαι τὸ βιβλίον, καὶ τὰς ἑπτὰ
6 σφραγῖδας αὐτοῦ. καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ
τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ
τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς ὡς ἐσφα-
γισμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς
ἑπτὰ, ἅ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ,
ἀποστελλόμενα εἰς πᾶσαν τὴν γῆν· καὶ ἦλθε, 7
καὶ εἴληφε ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ
τοῦ θρόνου βιβλίον. καὶ ὅτε ἔλαβε τὸ βι- 8
βλίον, τὰ τέσσαρα ζῶα, καὶ εἰκοσιτέσσαρες
πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔ-
χοντες ἕκαστος κιθάρας, καὶ φιάλας χρυσᾶς
γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσ-
ευχαὶ τῶν ἁγίων· καὶ ᾄδουσιν ᾠδὴν καινὴν, 9
λέγοντες, ἄξιος εἶ λαβεῖν τὸ βιβλίον, καὶ ἀ-
νοῖξαι τὰς σφραγῖδας αὐτοῦ· ὅτι ἐσφάγης,
καὶ ἠγόρασας τῷ θεῷ ἡμᾶς ἐν τῷ αἵματί
σου, ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ
καὶ ἔθνους. καὶ ἐποίησας αὐτοὺς τῷ θεῷ ἡμῶν 10
βασιλεῖς καὶ ἱερεῖς, καὶ βασιλεύσουσιν ἐπὶ τῆς
γῆς. καὶ εἶδον, καὶ ἤκουσα ὡς φωνὴν ἀγγέ- 11
λων πολλῶν κύκλῳ τοῦ θρόνου, καὶ τῶν ζώων, καὶ
τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν, μυ-
ριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων,
λέγοντες φωνῇ μεγάλῃ, ἄξιόν ἐστι τὸ ἀρνίον 12
τὸ ἐσφαγισμένον, λαβεῖν τὴν δύναμιν, καὶ
πλοῦτον, καὶ σοφίαν, καὶ ἰσχὺν, καὶ τιμὴν, καὶ
δόξαν, καὶ εὐλογίαν. καὶ πᾶν κτίσμα, ὅ ἐστιν 13
ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ ὑποκάτω
τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἅ ἐστι, καὶ τὰ ἐν
αὐτοῖς, πάντας ἤκουσα λέγοντας, τῷ καθη-
μένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρνίῳ ἡ εὐλο-
γία, καὶ ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ τὸ κράτος
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. καὶ τὰ 14
τέσσαρα ζῶα λέγοντα τὸ ἀμήν· καὶ οἱ
πρεσβύτεροι ἔπεσον, καὶ προσεκύνησαν.

ς.

Καὶ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ 1
τῶν ἑπτὰ σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν
τεσσάρων ζώων λέγοντος, ὡς φωνὴ βροντῆς,
ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ 2
καθήμενος ἐπ᾽ αὐτῷ ἔχων τόξον. καὶ ἐδόθη
αὐτῷ στέφανος, καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νι-
κήσῃ. καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖ- 3
δα, ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος, ἔρχου.
καὶ ἐξῆλθεν ἄλλος ἵππος πυῤῥὸς, καὶ τῷ κα- 4
θημένῳ ἐπ᾽ αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰ-
ρήνην ἐκ τῆς γῆς, ἵνα ἀλλήλους σφάξωσι, καὶ
ἐδόθη αὐτῷ μάχαιρα μεγάλη. καὶ ὅτε ἤνοιξε 5
τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα τοῦ τρίτου
ζώου λέγοντος, ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ ἵπ-
πος μέλας, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτῷ ἔχων
ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἤκουσα φωνὴν 6
ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν, χοῖνιξ
σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς δη-
ναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.
καὶ ὅτε ἤνοιξε τὴν τετάρτην σφραγῖδα, ἤ- 7



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

κουσα φωνὴν τοῦ τετάρτου ζώου λέγοντος, ἔρ-
8 χου. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος χλωρὸς, καὶ ὁ
καθήμενος ἐπάνω αὐτοῦ ὄνομα αὐτῷ, θάνα-
τος· καὶ ὁ ᾅδης ἀκολουθεῖ μετ᾽ αὐτοῦ· καὶ ἐδόθη
αὐτῷ ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀπο-
κτεῖναι ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θα-
9 νάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς. καὶ ὅτε ἤ-
νοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑπο-
κάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἀν-
θρώπων τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θεοῦ,
καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀρνίου ἣν εἶχον.
10 καὶ ἔκραξαν φωνῇ μεγάλῃ, λέγοντες, ἕως πότε
ὁ δεσπότης ὁ ἅγιος καὶ ἀληθινὸς, οὐ κρίνεις καὶ
ἐκδικεῖς τὸ αἷμα ἡμῶν, ἐκ τῶν κατοικούντων
11 ἐπὶ τῆς γῆς; καὶ ἐδόθη αὐτοῖς, ἵνα ἀναπαύ-
σωνται ἔτι χρόνον, ἕως οὗ πληρωθῶσι καὶ οἱ
σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλ-
12 λοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί. καὶ εἶδον, καὶ
ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ σεισμὸς
μέγας ἐγένετο, καὶ ὁ ἥλιος μέλας ἐγένετο ὡς
σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷ-
13 μα. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσον εἰς τὴν γῆν,
ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ με-
14 γάλου ἀνέμου σειομένη. καὶ ὁ οὐρανὸς ἀπεχω-
ρίσθη ὡς βιβλίον εἱλισσόμενον, καὶ πᾶν ὄρος
15 καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν. καὶ
οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ
οἱ χιλίαρχοι, καὶ οἱ πλούσιοι, καὶ οἱ ἰσχυροὶ,
καὶ πᾶς δοῦλος, καὶ πᾶς ἐλεύθερος ἔκρυψαν
ἑαυτοὺς εἰς τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας
16 τῶν ὀρέων· καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέ-
τραις, πέσετε ἐφ᾽ ἡμᾶς, καὶ κρύψατε ἡμᾶς
ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρό-
17 νου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου. ὅτι ἦλθεν
ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ· καὶ τίς
δύναται σταθῆναι;

ζ'.

1 Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους
ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς,
κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς,
ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ
2 τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον. καὶ εἶ-
δον ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατο-
λῆς ἡλίου, ἔχοντα σφραγῖδα θεοῦ ζῶντος· καὶ
ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέ-
λοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν
3 καὶ τὴν θάλασσαν, λέγων, μὴ ἀδικήσατε
τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δέν-
δρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ
4 θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα
τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων, ἑκατὸν καὶ
τεσσαράκοντα τέσσαρες χιλιάδες ἐσφρα-
γισμένοι, ἐκ πάσης φυλῆς υἱῶν ἰσραήλ· ἐκ
φυλῆς ἰούδα, δώδεκα χιλιάδες ἐσφραγισ-
μένοι, ἐκ φυλῆς ῥουβεὶν δώδεκα χιλιάδες,
ἐκ φυλῆς γὰδ δώδεκα χιλιάδες· ἐκ φυλῆς 6
ἀσὴρ δώδεκα χιλιάδες, ἐκ φυλῆς νεφθα-
λεὶμ δώδεκα χιλιάδες, ἐκ φυλῆς μανασ-
σῆ δώδεκα χιλιάδες· ἐκ φυλῆς συμεὼν 7
δώδεκα χιλιάδες, ἐκ φυλῆς λευὶ δώδεκα
χιλιάδες, ἐκ φυλῆς ἰσαχὰρ δώδεκα χιλιά-
δες· ἐκ φυλῆς ζαβουλὼν δώδεκα χιλιάδες, 8
ἐκ φυλῆς ἰωσὴφ δώδεκα χιλιάδες, ἐκ φυ-
λῆς βενιαμὶν δώδεκα χιλιάδες ἐσφρα-
γισμένοι. μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος 9
πολὺς, ὃν ἀριθμῆσαι οὐδεὶς ἐδύνατο, ἐκ
παντὸς ἔθνους, καὶ φυλῶν, καὶ λαῶν, καὶ γλωσ-
σῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον
τοῦ ἀρνίου, περιβεβλημένοι στολὰς λευκὰς, καὶ
φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν· καὶ κράζουσι φω- 10
νῇ μεγάλῃ, λέγοντες, ἡ σωτηρία τῷ θεῷ ἡ-
μῶν, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ
ἀρνίῳ. καὶ πάντες οἱ ἄγγελοι εἱστήκεσαν κύ- 11
κλῳ τοῦ θρόνου, καὶ τῶν πρεσβυτέρων, καὶ τῶν τεσ-
σάρων ζώων, καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου
ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν
τῷ θεῷ, λέγοντες, ἀμήν. ἡ εὐλογία, καὶ ἡ 12
δόξα, καὶ ἡ σοφία, καὶ ἡ εὐχαριστία, καὶ ἡ
τιμὴ, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡ-
μῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. καὶ 13
ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων
μοι, οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς
λευκὰς, τίνες εἰσὶ, καὶ πόθεν ἦλθον; καὶ εἴρηκα 14
αὐτῷ, κύριε μου, σὺ οἶδας. καὶ εἶπέ μοι, οὗ-
τοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς
μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ
ἐλεύκαναν αὐτὰς ἐν τῷ αἵματι τοῦ ἀρνίου.
διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, καὶ 15
λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ
ναῷ αὐτοῦ· καὶ ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ
σκηνώσει ἐπ᾽ αὐτούς. οὐ πεινάσουσιν ἔτι, οὐ- 16
δὲ διψήσουσιν ἔτι, οὐδ᾽ οὐ μὴ πέσῃ ἐπ᾽ αὐ-
τοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα· ὅτι τὸ ἀρ-
νίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ αὐ-
τοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς
ὑδάτων· καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον
ἐκ τῶν ὀφθαλμῶν αὐτῶν.

η'.

Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, 1
ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. καὶ 2
εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον τοῦ θεοῦ
ἑστήκασι· καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγ-
γες. καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ 3
τοῦ θυσιαστηρίου ἔχων λιβανωτὸν χρυσοῦν, καὶ

ἐδόθη αὐτῷ θυμιάματα πολλά, ἵνα δώσῃ
ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ
θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ
4 θρόνου. καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμά-
των ταῖς προσευχαῖς τῶν ἁγίων, ἐκ χειρὸς τοῦ
5 ἀγγέλου, ἐνώπιον τοῦ θεοῦ. καὶ εἴληφεν ὁ ἄγ-
γελος τὸ λιβανωτόν, καὶ ἐγέμισεν αὐτὸν ἐκ
τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν
γῆν· καὶ ἐγένοντο φωναί, καὶ βρονταί, καὶ
6 ἀστραπαί, καὶ σεισμός. καὶ οἱ ἑπτὰ ἄγγελοι οἱ
ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν
7 ἑαυτοὺς ἵνα σαλπίσωσι. καὶ ὁ πρῶτος ἐσάλ-
πισε, καὶ ἐγένετο χάλαζα, καὶ πῦρ μεμι-
γμένα ἐν αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν.
καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ πᾶς
8 χόρτος χλωρὸς κατεκάη. καὶ ὁ δεύτερος
ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα καιό-
μενον ἐβλήθη εἰς τὴν θάλασσαν· καὶ ἐγέ-
9 νετο τὸ τρίτον τῆς θαλάσσης αἷμα· καὶ ἀ-
πέθανε τὸ τρίτον τῶν κτισμάτων ἐν τῇ θα-
λάσσῃ, τὰ ἔχοντα ψυχάς, καὶ τὸ τρίτον τῶν
10 πλοίων διεφθάρησαν. καὶ ὁ τρίτος ἄγγελος ἐ-
σάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ
μέγας καιόμενος ὡς λαμπάς, καὶ ἔπεσεν
ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πη-
11 γὰς τῶν ὑδάτων. καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέ-
γεται ὁ ἄψινθος· καὶ γίνεται τὸ τρίτον τῶν ὑ-
δάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώπων
ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν.
12 καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλή-
γη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σε-
λήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτι-
σθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ
13 τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως. καὶ εἶδον, καὶ
ἤκουσα ἑνὸς ἀετοῦ πετωμένου ἐν μεσουρανή-
ματι, λέγοντος φωνῇ μεγάλῃ τρίς, οὐαί, οὐαί,
οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν
λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν
ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

θ΄.

1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶ-
δον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν
γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς
2 ἀβύσσου. καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου, καὶ
ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς
καμίνου καιομένης, καὶ ἐσκοτίσθη ὁ ἥλιος
3 καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. καὶ ἐκ
τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ
ἐδόθη αὐταῖς ἐξουσία, ὡς ἔχουσιν ἐξουσίαν οἱ
4 σκορπίοι τῆς γῆς. καὶ ἐρρέθη αὐταῖς ἵνα μὴ
ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν
χλωρόν, οὐδὲ πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώ-
πους μόνους οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖ-
δα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἐδόθη 5
αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ' ἵνα
βασανίσωσι μῆνας πέντε· καὶ ὁ βασανι-
σμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν
παίσῃ ἄνθρωπον. καὶ ἐν ταῖς ἡμέραις ἐκεί- 6
ναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ
οὐ μὴ εὑρήσουσιν αὐτόν· καὶ ἐπιθυμήσουσιν
ἀποθανεῖν, καὶ φεύξεται ἀπ' αὐτῶν ὁ θάνατος.
καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπ- 7
ποις ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς
κεφαλὰς αὐτῶν ὡς στέφανοι χρυσοῖ, καὶ τὰ
πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων. καὶ 8
εἶχον τρίχας ὡς τρίχας γυναικῶν· καὶ οἱ ὀ-
δόντες αὐτῶν ὡς λεόντων ἦσαν. καὶ εἶχον θώ- 9
ρακας ὡς θώρακας σιδηροῦς· καὶ ἡ φωνὴ τῶν
πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων
πολλῶν τρεχόντων εἰς πόλεμον. καὶ εἶχον 10
οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα. καὶ ἐν ταῖς
οὐραῖς αὐτῶν ἐξουσίαν ἔχουσι τοῦ ἀδικῆσαι
τοὺς ἀνθρώπους μῆνας πέντε· ἔχουσι βα- 11
σιλέα ἐφ' αὐτῶν τὸν ἄγγελον τῆς ἀβύσσου, ὄνο-
μα αὐτῷ ἑβραϊστί, ἀβαδδών, ἐν δὲ τῇ ἑλλη-
νικῇ ὄνομα ἔχει, ἀπολλύων. ἡ οὐαὶ ἡ μία ἀ- 12
πῆλθεν, ἰδοὺ ἔρχεται ἔτι δύο οὐαὶ μετὰ ταῦτα.
καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φω- 13
νὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυ-
σιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ, λέ- 14
γουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγ-
γα, λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδε-
μένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ εὐφρά-
τῃ. καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοι- 15
μασμένοι εἰς τὴν ὥραν, καὶ μῆνα, καὶ ἐνιαυ-
τόν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώ- 16
πων. καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ
ἵππου, μυριάδες μυριάδων. ἤκουσα τὸν ἀρι-
θμὸν αὐτῶν. καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ 17
ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν ἔχοντας
θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώ-
δεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφα-
λαὶ λεόντων· καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκ-
πορεύεται πῦρ, καὶ καπνός, καὶ θεῖον. ὑπὸ τῶν 18
τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ
τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρός, καὶ τοῦ
καπνοῦ, καὶ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν
στομάτων αὐτῶν. ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν 19
τῷ στόματι αὐτῶν ἐστι, καὶ ἐν ταῖς οὐραῖς
αὐτῶν. αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν, ἔ-
χουσαι κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσι.
καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάν- 20
θησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ μετε-
νόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα

μὴ προσκυνήσωσι τὰ δαιμόνια, καὶ τὰ
εἴδωλα τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ, καὶ τὰ
χαλκᾶ, καὶ τὰ λίθινα, καὶ τὰ ξύλινα, ἃ οὔτε
βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπα-
21 τεῖν. καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν,
οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ τῆς
πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

ι.

1 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν καταβαίνοντα
ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην· καὶ
ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸ πρόσωπον
αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι
2 πυρός. καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλιδά-
ριον ἀνεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν
δεξιὸν ἐπὶ τὴν θάλασσαν, τὸν δὲ εὐώνυμον ἐπὶ
3 τῆς γῆς. καὶ ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων
μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ
4 βρονταὶ τὰς ἑαυτῶν φωνάς. καὶ ὅτε ἐλάλησαν
αἱ ἑπτὰ βρονταί, ἔμελλον γράφειν· καὶ ἤκουσα
φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσαν, σφράγισον ἃ
ἐλάλησαν αἱ ἑπτὰ βρονταί, καὶ μετὰ ταῦτα γρά-
5 ψεις. καὶ ὁ ἄγγελος, ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς
θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ
6 τὴν δεξιὰν εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν ἐν τῷ
ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν
οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν
αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ· ὅτι
7 χρόνος οὐκ ἔτι ἔσται. ἀλλ' ἐν ταῖς ἡμέραις τῆς
φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλ-
πίζειν, τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ, ὃ εὐηγ-
γελίσατο τοὺς δούλους αὐτοῦ τοὺς προφήτας.
8 καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν
λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα, ὕπαγε, λάβε
τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ
τοῦ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης, καὶ
9 ἐπὶ τῆς γῆς. καὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέ-
γων αὐτῷ, δός μοι τὸ βιβλιδάριον. καὶ λέγει
μοι, λάβε, καὶ κατάφαγε αὐτό. καὶ πικρανεῖ
σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται
10 γλυκὺ ὡς μέλι. καὶ ἔλαβον τὸ βιβλιδάριον
ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐ-
τό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυ-
κύ· καὶ ὅτε ἔφαγον αὐτό, ἐπικράνθη ἡ κοι-
11 λία μου. καὶ λέγει μοι, δεῖ σε πάλιν προφη-
τεῦσαι ἐπὶ λαοῖς, καὶ ἐπὶ ἔθνεσι, καὶ γλώσ-
σαις, καὶ βασιλεῦσι πολλοῖς.

ια.

1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ,
καὶ εἱστήκει ὁ ἄγγελος, λέγων, ἔγειραι, καὶ μέ-
τρησον τὸν ναὸν τοῦ θεοῦ, καὶ τὸ θυσιαστήριον,
2 καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ. καὶ τὴν αὐλὴν
τὴν ἔξωθεν τοῦ ναοῦ, ἔκβαλε ἔξωθεν, καὶ μὴ αὐτὴν
μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πό-
λιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκον-
τα δύο. καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ 3
προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας
ἑξήκοντα, περιβεβλημένοι σάκκους. οὗτοί εἰσιν 4
αἱ δύο ἐλαῖαι, καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον
τοῦ κυρίου τῆς γῆς ἑστῶσαι. καὶ εἴ τις αὐτοὺς 5
θέλῃ ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στό-
ματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. καὶ
εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν
ἀποκτανθῆναι. οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖ- 6
σαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέ-
ρας τῆς προφητείας αὐτῶν· καὶ ἐξουσίαν ἔχουσιν
ἐπὶ τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα, καὶ
πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσάκις
ἐὰν θελήσωσι. καὶ ὅταν τελέσωσι τὴν μαρτυ- 7
ρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς
ἀβύσσου ποιήσει μετ' αὐτῶν πόλεμον, καὶ νι-
κήσει αὐτούς, καὶ ἀποκτενεῖ αὐτούς· καὶ τὰ πτώ- 8
ματα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς
μεγάλης, ἥτις καλεῖται πνευματικῶς σόδο-
μα καὶ αἴγυπτος, ὅπου καὶ ὁ κύριος αὐτῶν ἐ-
σταυρώθη· καὶ βλέπουσιν ἐκ τῶν λαῶν, καὶ φυ- 9
λῶν, καὶ γλωσσῶν, καὶ ἐθνῶν, τὰ πτώματα
αὐτῶν ἡμέρας τρεῖς ἥμισυ· καὶ τὰ πτώματα
αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνῆμα. καὶ οἱ 10
κατοικοῦντες ἐπὶ τῆς γῆς χαροῦσιν ἐπ' αὐ-
τοῖς, καὶ εὐφρανθήσονται, καὶ δῶρα πέμψουσιν
ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν
τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. καὶ μετὰ τρεῖς 11
ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ
εἰσῆλθεν ἐπ' αὐτούς, καὶ ἔστησαν ἐπὶ τοὺς πό-
δας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν ἐπὶ
τοὺς θεωροῦντας αὐτούς. καὶ ἤκουσαν φωνῆς με- 12
γάλης ἐκ τοῦ οὐρανοῦ, λεγούσης αὐτοῖς, ἀνά-
βητε ὧδε. καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ
νεφέλῃ· καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.
καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς μέ- 13
γας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ
ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀν- 14
θρώπων χιλιάδες ἑπτά, καὶ οἱ λοιποὶ ἔμφο-
βοι ἐγένοντο, καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ
οὐρανοῦ. ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν, ἡ οὐαὶ ἡ
τρίτη ἰδοὺ ἔρχεται ταχύ. καὶ ὁ ἕβδομος ἄγγε- 15
λος ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι
ἐν τῷ οὐρανῷ, λέγουσαι, ἐγένετο ἡ βασιλεία
τοῦ κόσμου, τοῦ κυρίου ἡμῶν, καὶ τοῦ χριστοῦ αὐτοῦ,
καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ 16
οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι οἱ ἐνώπιον
τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔ-
πεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύ-
νησαν τῷ θεῷ, λέγοντες, εὐχαριστοῦμέν σοι, 17

κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ὢν, καὶ ὁ ἦν,
καὶ ὁ ἐρχόμενος, ὅτι εἴληφας τὴν δύναμίν σου
18 τὴν μεγάλην, καὶ ἐβασίλευσας. καὶ τὰ ἔθνη
ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου, καὶ ὁ καιρὸς τῶν
νεκρῶν, κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δού-
λοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις, καὶ
τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ
τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθεί-
19 ροντας τὴν γῆν. καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ
οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης τοῦ
κυρίου ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐγένοντο ἀστρα-
παί, καὶ φωναί, καὶ βρονταί, καὶ χάλαζα με-
γάλη.

ιβ'.

1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ·
γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη
ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κε-
2 φαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα· καὶ
ἐν γαστρὶ ἔχουσα ἔκραζεν ὠδίνουσα, καὶ βα-
3 σανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλλο σημεῖον
ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων μέγας πυῤῥὸς,
ἔχων κεφαλὰς ἑπτὰ, καὶ κέρατα δέκα· καὶ ἐπὶ
4 τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα· καὶ ἡ οὐ-
ρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ,
καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἕστηκεν
ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τίκτειν,
5 ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς, καταφάγῃ. καὶ
ἔτεκεν υἱὸν ἄῤῥενα, ὃς μέλλει ποιμαίνειν πάν-
τα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάγη τὸ
τέκνον αὐτῆς πρὸς τὸν θεὸν, καὶ πρὸς τὸν θρό-
6 νον αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅ-
που ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ἀπὸ τοῦ
θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν αὐτὴν ἡμέρας χι-
7 λίας διακοσίας ἑξήκοντα. καὶ ἐγένετο πόλε-
μος ἐν τῷ οὐρανῷ· ὁ μιχαὴλ καὶ οἱ ἄγγελοι
αὐτοῦ τοῦ πολεμῆσαι μετὰ τοῦ δράκοντος, καὶ ὁ
8 δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐτοῦ. καὶ
οὐκ ἴσχυσεν, οὔδε τόπος εὑρέθη αὐτῷ ἔτι ἐν
9 τῷ οὐρανῷ. καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας,
ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος καὶ
σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐ-
βλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ᾽
10 αὐτοῦ ἐβλήθησαν. καὶ ἤκουσα φωνὴν μεγάλην
ἐν τῷ οὐρανῷ, λέγουσαν, ἄρτι ἐγένετο ἡ σω-
τηρία, καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ θεοῦ
ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ χριστοῦ αὐτοῦ· ὅτι κα-
τεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ
κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ θεοῦ ἡμῶν ἡμέ-
11 ρας καὶ νυκτός. καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ
τὸ αἷμα τοῦ ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρ-
τυρίας αὐτῶν. καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν
12 ἄχρι θανάτου. διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρα-
νοὶ, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. οὐαὶ τῇ γῇ, καὶ
τῇ θαλάσσῃ· ὅτι κατέβη ὁ διάβολος πρὸς
ὑμᾶς, ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον
καιρὸν ἔχει. καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐ- 13
βλήθη εἰς τὴν γῆν, ἐδίωξε τὴν γυναῖκα, ἥτις ἔ-
τεκε τὸν ἄῤῥενα. καὶ ἐδόθησαν τῇ γυναικὶ δύο 14
πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς
τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται
ἐκεῖ καιρὸν, καὶ καιροὺς, καὶ ἥμισυ καιροῦ, ἀπὸ
προσώπου τοῦ ὄφεως. καὶ ἔβαλεν ὁ ὄφις ἐκ 15
τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς, ὕδωρ
ὡς ποταμὸν, ἵνα αὐτὴν ποταμοφόρητον ποιή-
σῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤ- 16
νοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν
ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόμα-
τος αὐτοῦ. καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυ- 17
ναικὶ, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν
λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων
τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ ἐχόντων τὴν μαρ-
τυρίαν τοῦ ἰησοῦ. καὶ ἐστάθην ἐπὶ τὴν ἄμ- 18
μον τῆς θαλάσσης.

ιγ'.

Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀνα- 1
βαῖνον, ἔχον κέρατα δέκα, καὶ κεφαλὰς ἑ-
πτὰ, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα δια-
δήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνό-
ματα βλασφημίας· καὶ τὸ θηρίον ὃ εἶδον, 2
ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς
ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ
ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ
τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην. καὶ μίαν 3
ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμένην εἰς
θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐ-
θεραπεύθη· καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω
τοῦ θηρίου· καὶ προσεκύνησαν τῷ δράκοντι τῷ
δεδωκότι τὴν ἐξουσίαν τῷ θηρίῳ. καὶ προσ- 4
εκύνησαν τῷ θηρίῳ, λέγοντες, τίς ὅμοιος τῷ
θηρίῳ; καὶ τίς δυνατὸς πολεμῆσαι μετ᾽
αὐτοῦ; καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα,
καὶ βλασφημίαν. καὶ ἐδόθη αὐτῷ ἐξουσία 5
πόλεμον ποιῆσαι μῆνας τεσσαράκοντα
δύο. καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφη- 6
μίαν πρὸς τὸν θεὸν, βλασφημῆσαι τὸ ὄνο-
μα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐ-
ρανῷ σκηνοῦντας. καὶ ἐδόθη αὐτῷ ποιῆσαι 7
πόλεμον μετὰ τῶν ἁγίων, καὶ νικῆσαι αὐτούς· καὶ
ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν, καὶ
γλώσσαν, καὶ ἔθνος. καὶ προσκυνήσουσιν 8
αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν
οὐ γέγραπται τὸ ὄνομα ἐν τῷ βιβλίῳ τῆς ζωῆς
τοῦ ἀρνίου τοῦ ἐσφαγμένου, ἀπὸ καταβολῆς κό-
σμου. εἴ τις ἔχει οὖς, ἀκουσάτω. εἴ τις ἔχει αἰ- 9
χμαλωσίαν, ὑπάγει. εἴ τις ἐν μαχαίρᾳ ἀ- 10
ποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆ-
ναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ, καὶ ἡ πίστις τῶν ἁ-
γίων.

11 γίων. καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ
τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ
12 ἐλάλει ὡς δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώ-
του θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ἐ-
ποίει τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας,
ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ
13 ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ
ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ, ἵνα ἐκ τοῦ
οὐρανοῦ καταβαίνῃ ἐπὶ τὴν γῆν, ἐνώπιον τῶν
14 ἀνθρώπων· καὶ πλανᾷ τοὺς ἐμοὺς τοὺς κατοι-
κοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα, ἃ ἐδόθη
αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς
κατοικοῦσιν ἐπὶ τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ
θηρίῳ, ὃ εἶχε τὴν πληγὴν τῆς μαχαίρας, καὶ
15 ἔζησε. καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι τῇ
εἰκόνι τοῦ θηρίου, καὶ ἵνα λαλήσῃ ἡ εἰκὼν τοῦ
θηρίου, καὶ ποιεῖ ὅσοι μὴ προσκυνήσωσι τῇ
16 εἰκόνι τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. καὶ ποιεῖ
πάντας τοὺς μικροὺς, καὶ τοὺς μεγάλους, καὶ τοὺς
πλουσίους, καὶ τοὺς πτωχοὺς, καὶ τοὺς ἐλευθέρους,
καὶ τοὺς δούλους, ἵνα δώσῃ αὐτοῖς χάραγμα-
τα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν
17 μετώπων αὐτῶν. καὶ ἵνα μή τις δύνηται ἀγο-
ράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάρα-
γμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν
18 τοῦ ὀνόματος αὐτοῦ. ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων
νοῦν, ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀρι-
θμὸς γὰρ ἀνθρώπου ἐστί, καὶ ὁ ἀριθμὸς αὐτοῦ
ἐστὶν ἑξακόσιοι ἑξήκοντα ἕξ.

ιδʹ.

1 Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄ-
ρος Σιὼν, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκον-
τα τέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα
αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμ-
2 μένον ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φω-
νὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν,
καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ
ἣν ἤκουσα, ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν
3 ταῖς κιθάραις αὐτῶν· καὶ ᾄδουσιν ᾠδὴν καινὴν
ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων
ζώων, καὶ τῶν πρεσβυτέρων. καὶ οὐδεὶς ἐδύνατο
μαθεῖν τὴν ᾠδὴν, εἰ μὴ αἱ ἑκατὸν τεσσαρά-
κοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι
4 ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ
ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν
οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπά-
γῃ· οὗτοι ὑπὸ Ἰησοῦ ἠγοράσθησαν ἀπὸ τῶν ἀν-
5 θρώπων ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ. καὶ
ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος. ἄ-
6 μωμοι γάρ εἰσι. καὶ εἶδον ἄλλον ἄγγελον
πετώμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγ-
γέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς καθη-
μένους ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πᾶν ἔθνος, καὶ φυ-
λὴν, καὶ γλῶσσαν, καὶ λαὸν, λέγοντα ἐν φωνῇ 7
μεγάλῃ, φοβήθητε τὸν θεὸν, καὶ δότε αὐτῷ
δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ
προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν, καὶ
τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πηγὰς ὑδάτων.
καὶ ἄλλος ἄγγελος ἠκολούθησε, λέ- 8
γων, ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ μεγάλη· ἐκ
τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότι-
κε πάντα τὰ ἔθνη. καὶ ἄλλος ἄγγελος τρίτος 9
ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ,
εἴ τις προσκυνεῖ τὸ θηρίον, καὶ τὴν εἰκόνα
αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ με-
τώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ· καὶ αὐτὸς 10
πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ κεκε-
ρασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς
αὐτοῦ, καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ
ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ
ἀρνίου. καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν εἰς 11
αἰῶνας αἰώνων ἀναβαίνει, καὶ οὐκ ἔχουσιν ἀνά-
παυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες
τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμ-
βάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ. ὧδε 12
ὑπομονὴ τῶν ἁγίων ἐστίν· ὧδε οἱ τηροῦντες
τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν τοῦ Ἰησοῦ. καὶ 13
ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι,
γράψον, μακάριοι οἱ νεκροὶ, οἱ ἐν κυρίῳ ἀπο-
θνήσκοντες. ἀπάρτι λέγει ναὶ τὸ πνεῦμα,
ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔρ-
γα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν. καὶ εἶδον, καὶ ἰδοὺ 14
νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος
ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς
αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ
δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ 15
τοῦ ναοῦ, κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθη-
μένῳ ἐπὶ τῆς νεφέλης· πέμψον τὸ δρέπανόν
σου, καὶ θέρισον, ὅτι ἦλθεν ἡ ὥρα τοῦ θερίσαι.
ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. καὶ ἔβα- 16
λεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην, τὸ δρέ-
πανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.
καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν 17
τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. καὶ 18
ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου,
ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς, καὶ ἐφώνησε
κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ
ὀξὺ, λέγων, πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ,
καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς
γῆς ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς. καὶ ἔβα- 19
λεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν,
καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν
εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὸν μέγαν.
καὶ ἐπατήθη ἡ ληνὸς ἔξωθεν τῆς πόλεως, καὶ
ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν
τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Καὶ

ιε´.

1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέ-
γα καὶ θαυμαστόν, ἀγγέλους ἑπτά, ἔχοντας
πληγὰς ἑπτὰ τὰς ἐσχάτας· ὅτι ἐν αὐταῖς ἐτε-
2 λέσθη ὁ θυμὸς τοῦ θεοῦ. καὶ εἶδον ὡς θάλασ-
σαν ὑαλίνην πυρὶ μεμιγμένην, καὶ τοὺς νι-
κῶντας ἐκ τοῦ θηρίου, καὶ ἐκ τῆς εἰκόνος αὐ-
τοῦ, καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑ-
στῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔ-
3 χοντας κιθάρας τοῦ θεοῦ. καὶ ᾄδουσι τὴν ᾠδὴν
Μωυσέως τοῦ δούλου τοῦ θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ
ἀρνίου, λέγοντες, μεγάλα καὶ θαυμαστὰ τὰ
ἔργα σου, κύριε ὁ θεὸς ὁ παντοκράτωρ· δί-
καιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν
4 ἐθνῶν. τίς οὐ μὴ φοβηθῇ σε, κύριε, καὶ δοξά-
σῃ τὸ ὄνομά σου; ὅτι μόνος ἅγιος εἶ· ὅτι πάν-
τα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώ-
πιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώ-
5 θησαν. καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς
6 τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ. καὶ
ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ
πληγάς, ἐκ τοῦ οὐρανοῦ, οἳ ἦσαν ἐνδεδυμένοι
λίνον, καὶ καθαρόν, καὶ λαμπρόν, καὶ περιε-
7 ζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς. καὶ ἓν
ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγ-
γέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ
θυμοῦ τοῦ θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν
8 αἰώνων. καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς
δόξης τοῦ θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ
οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναόν, ἄχρι τε-
λεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἀγγέλων.

ις´.

1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λε-
γούσης τοῖς ἑπτὰ ἀγγέλοις, ὑπάγετε, ἐκ-
χέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ εἰς
2 τὴν γῆν. καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέχεε
τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐγένετο
ἕλκος κακὸν καὶ πονηρὸν εἰς τοὺς ἀνθρώπους
τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ
3 τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. καὶ ὁ
δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νε-
κροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ
4 θαλάσσῃ. καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν
φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ τὰς πη-
5 γὰς τῶν ὑδάτων· καὶ ἐγένετο αἷμα. καὶ ἤκουσα
τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος, δίκαιος εἶ,
ὁ ὢν, καὶ ὁ ἦν, ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας.
6 ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ
7 αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοί εἰσι. καὶ
ἤκουσα ἐκ τοῦ θυσιαστηρίου, λέγοντος, ναὶ κύ-
ριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δί-
8 καιαι αἱ κρίσεις σου. καὶ ὁ τέταρτος ἄγγελος
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ
ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους ἐν
πυρί. καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦ- 9
μα μέγα, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸ
ὄνομα τοῦ θεοῦ τοῦ ἔχοντος τὴν ἐξουσίαν ἐπὶ
τὰς πληγὰς ταύτας· καὶ οὐ μετενόησαν δοῦναι
αὐτῷ δόξαν. καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν 10
φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ
ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ
ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου·
καὶ ἐβλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν 11
πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ με-
τενόησαν ἐκ τῶν ἔργων αὐτῶν· καὶ ὁ ἕκτος ἄγγελος 12
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν
μέγαν Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ
αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν
ἀπὸ ἀνατολῶν ἡλίου. καὶ εἶδον ἐκ τοῦ στόματος 13
τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου,
καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου
πνεύματα τρία ἀκάθαρτα ὡς βάτραχοι.
εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα ση- 14
μεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰ-
κουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πό-
λεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ
τοῦ παντοκράτορος. ἰδοὺ ἔρχομαι ὡς κλέ- 15
πτης· μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ
ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ
βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ. καὶ συνήγα- 16
γεν αὐτοὺς εἰς τόπον τὸν καλούμενον ἑβραϊστὶ
ἀρμαγεδών. καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε 17
τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ
μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρό-
νου, λέγουσα, γέγονε. καὶ ἐγένοντο ἀστραπαί, καὶ 18
βρονταί, καὶ φωναί, καὶ σεισμὸς ἐγένετο μέ-
γας, οἷος οὐκ ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐ-
γένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω
μέγας. καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία 19
μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον· καὶ βαβυ-
λὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ, δοῦ-
ναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς
ὀργῆς αὐτοῦ. καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ 20
εὑρέθησαν. καὶ χάλαζα μεγάλη ὡς ταλαν- 21
τιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς
ἀνθρώπους, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι
τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης· ὅτι με-
γάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

ιζ´.

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόν- 1
των τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ,
λέγων, δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης
τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν
πολλῶν· μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς 2
γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ

τοῦ

3 τοῦ οἴνου τῆς πορνείας αὐτῆς. καὶ ἀπήνεγκέ με
εἰς ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα
καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον ὀνο-
μάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ, καὶ
4 κέρατα δέκα. καὶ ἡ γυνὴ ἡ περιβεβλημένη
πορφύραν καὶ κόκκινον, κεχρυσωμένη χρυσῷ,
καὶ λίθῳ τιμίῳ, καὶ μαργαρίταις, ἔχουσα
χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον
βδελυγμάτων, καὶ τὰ ἀκάθαρτα τῆς πορνείας
5 αὐτῆς. καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γε-
γραμμένον, μυστήριον, βαβυλὼν ἡ μεγάλη
ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς
6 γῆς. καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ
αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν
μαρτύρων ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν
7 θαῦμα μέγα. καὶ εἶπέ μοι ὁ ἄγγελος, διατί
ἐθαύμασας; ἐγώ σοι ἐρῶ τὸ μυστήριον τῆς
γυναικός, καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐ-
τὴν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς, καὶ τὰ
8 δέκα κέρατα. τὸ θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ
ἔστι, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ
εἰς ἀπώλειαν ὑπάγειν· καὶ θαυμάσονται οἱ
κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται
τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ
καταβολῆς κόσμου, βλέποντες τὸ θηρίον, ὅ,
9 τι ἦν, καὶ οὐκ ἔστι, καὶ παρέσται. ὧδε ὁ νοῦς ὁ ἔ-
χων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ, ἑπτὰ ὄρη εἰ-
σίν, ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν, καὶ βασι-
10 λεῖς ἑπτά εἰσιν. οἱ πέντε ἔπεσον, ὁ εἷς ἔστιν, ὁ
ἄλλος οὔπω ἦλθε· καὶ ὅταν ἔλθῃ, ὀλίγον αὐτὸν
11 δεῖ μεῖναι. καὶ τὸ θηρίον ὃ ἦν, καὶ οὐκ ἔστι, καὶ
αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς
12 ἀπώλειαν ὑπάγει. καὶ τὰ δέκα κέρατα ἃ
εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵτινες βασι-
λείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασι-
λεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.
13 οὗτοι μίαν γνώμην ἔχουσι, καὶ τὴν δύναμιν καὶ
14 τὴν ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν. οὗτοι
μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νική-
σει αὐτούς· ὅτι κύριος κυρίων ἐστὶ, καὶ βασι-
λεὺς βασιλέων· καὶ οἱ μετ' αὐτοῦ, κλητοὶ, καὶ
15 ἐκλεκτοὶ, καὶ πιστοί. καὶ λέγει μοι, τὰ ὕδατα ἃ
εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσί,
16 καὶ ἔθνη, καὶ γλῶσσαι. καὶ τὰ δέκα κέρατα ἃ
εἶδες, καὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρ-
νην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν, καὶ γυ-
μνὴν ποιήσουσιν αὐτὴν, καὶ τὰς σάρκας αὐτῆς
φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί.
17 ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν
ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι γνώ-
μην μίαν, καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ
18 θηρίῳ, ἄχρι τελεσθήσονται οἱ λόγοι τοῦ θεοῦ. καὶ
ἡ γυνὴ ἣν εἶδες, ἔστιν ἡ πόλις ἡ μεγάλη, ἡ ἔ-
χουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

ιη.

Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον κα- 1
ταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν
μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης
αὐτοῦ· καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ, λέγων, ἔ- 2
πεσεν ἔπεσε βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο
κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παν-
τὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παν-
τὸς ὀρνέου ἀκαθάρτου, καὶ μεμισημένου· ὅτι ἐκ 3
τοῦ θυμοῦ τοῦ οἴνου τῆς πορνείας αὐτῆς πέπωκε
πάντα τὰ ἔθνη, καὶ οἱ βασιλεῖς τῆς γῆς μετ'
αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς
δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν. καὶ 4
ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν,
ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγ-
κοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἐκ τῶν
πληγῶν αὐτῆς, ἵνα μὴ λάβητε. ὅτι ἐκολ- 5
λήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ,
καὶ ἐμνημόνευσεν αὐτῆς ὁ θεὸς τὰ ἀδική-
ματα αὐτῆς. ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀ- 6
πέδωκεν ὑμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ
κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ ᾧ ἐκέ-
ρασε, κεράσατε αὐτῇ διπλοῦν. ὅσα ἐδόξα- 7
σεν ἑαυτήν, καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐ-
τῇ βασανισμὸν· ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει,
ὅτι κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμί,
καὶ πένθος οὐ μὴ ἴδω. διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ 8
ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος, καὶ πέν-
θος, καὶ λιμός, καὶ ἐν πυρὶ κατακαυθήσεται·
ὅτι ἰσχυρὸς κύριος ὁ θεὸς ὁ κρίνας αὐτήν. καὶ 9
κλαύσονται, καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασιλεῖς
τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρη-
νιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυ-
ρώσεως αὐτῆς· ἀπὸ μακρόθεν ἑστηκότες διὰ 10
τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες, οὐαὶ
οὐαὶ ἡ πόλις ἡ μεγάλη βαβυλών, ἡ πόλις ἡ
ἰσχυρά· ὅτι μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. καὶ 11
οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ'
αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέ- 12
τι, γόμον χρυσοῦ, καὶ ἀργύρου, καὶ λίθου τιμίου,
καὶ μαργαρίτου, καὶ βύσσου, καὶ πορφύρου, καὶ σηρι-
κοῦ, καὶ κοκκίνου· καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν
σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου
τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρ-
μάρου, καὶ κινάμωμον, καὶ θυμιάματα, καὶ μύ- 13
ρον, καὶ λίβανον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ σεμίδα-
λιν, καὶ σῖτον, καὶ κτήνη, καὶ πρόβατα· καὶ ἵπ-
πων, καὶ ῥαιδῶν, καὶ σωμάτων, καὶ ψυχὰς ἀν-
θρώπων. καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυ- 14
χῆς σου ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λι-
παρὰ καὶ τὰ λαμπρὰ ἀπώλοντο ἀπὸ σοῦ, καὶ
οὐκέτι οὐ μὴ εὑρήσῃς αὐτά. οἱ ἔμποροι τού- 15

των οἱ πλουτήσαντες ἀπ' αὐτῆς ἀπὸ μακρό-
θεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ
16 αὐτῆς, κλαίοντες καὶ πενθοῦντες· καὶ λέγοντες,
οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἡ περιβεβλημένη
βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυ-
σωμένη ἐν χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαρ-
17 γαρίταις· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος
πλοῦτος· καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ὁ ἐπὶ
τῶν πλοίων πλέων, καὶ ναῦται, καὶ ὅσοι τὴν
θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν,
18 καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυ-
ρώσεως αὐτῆς, λέγοντες, τίς ὁμοία τῇ πόλει
19 τῇ μεγάλῃ; καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφα-
λὰς αὐτῶν, καὶ ἔκραζον κλαίοντες, καὶ πενθοῦν-
τες, καὶ λέγοντες, οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη,
ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα
ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς· ὅτι
20 μιᾷ ὥρᾳ ἠρημώθη. εὐφραίνου ἐπ' αὐτῇ οὐρα-
νὲ, καὶ οἱ ἅγιοι, καὶ οἱ ἀπόστολοι, καὶ οἱ προφῆται·
ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.
21 καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον
μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων,
οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ με-
22 γάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. καὶ φωνὴ
κιθαρῳδῶν, καὶ μουσικῶν, καὶ αὐλητῶν, καὶ
σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. καὶ πᾶς
τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ
ἔτι· καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι·
23 καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι· καὶ
φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν
σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶ-
νες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐ-
πλανήθησαν πάντα τὰ ἔθνη· καὶ ἐν αὐτῇ
αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ
πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

ιθʹ.

1 Καὶ μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν ὄχλου
πολλοῦ μεγάλην ἐν τῷ οὐρανῷ, λεγόντων, ἀλ-
ληλούϊα. ἡ σωτηρία, καὶ ἡ δύναμις, καὶ ἡ δό-
2 ξα τοῦ θεοῦ ἡμῶν. ὅτι ἀληθιναὶ καὶ δίκαιαι
αἱ κρίσεις αὐτοῦ, ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγά-
λην, ἥτις διέφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ
αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐ-
3 τοῦ ἐκ χειρὸς αὐτῆς. καὶ δεύτερον εἴρηκεν,
ἀλληλούϊα. καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει
4 εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἔπεσον οἱ πρεσ-
βύτεροι οἱ εἰκοσιτέσσαρες, καὶ τὰ τέσσαρα
ζῶα, καὶ προσεκύνησαν τῷ θεῷ τῷ καθη-
μένῳ ἐπὶ τοῦ θρόνου, λέγοντες, ἀμήν· ἀλλη-
5 λούϊα. καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε, λέγουσα,
αἰνεῖτε τὸν θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ,
καὶ οἱ φοβούμενοι αὐτὸν, οἱ μικροὶ καὶ οἱ με-
γάλοι. καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ
ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν
βροντῶν ἰσχυρῶν, λεγόντων, ἀλληλούϊα· ὅτι ἐ-
βασίλευσε κύριος ὁ θεὸς ἡμῶν ὁ παντοκρά-
τωρ. χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν 7
τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρ-
νίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν. καὶ 8
ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον λαμ-
πρὸν καὶ καθαρόν. τὸ γὰρ βύσσινον, τὰ δι-
καιώματα τῶν ἁγίων ἐστί. καὶ λέγει μοι, γρά- 9
ψον, μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου
τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι, οὗτοι οἱ
λόγοι ἀληθινοί εἰσι τοῦ θεοῦ. καὶ ἔπεσον ἔμ- 10
προσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐ-
τῷ· καὶ λέγει μοι, ὅρα μή· σύνδουλός σου εἰ-
μὶ, καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρ-
τυρίαν Ἰησοῦ· τῷ θεῷ προσκύνησον· ἡ γὰρ 11
μαρτυρία τοῦ Ἰησοῦ ἐστὶ τὸ πνεῦμα τῆς προ-
φητείας. καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ
ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν
καλούμενος πιστὸς καὶ ἀληθινὸς, καὶ ἐν δι-
καιοσύνῃ κρίνει καὶ πολεμεῖ. οἱ δὲ ὀφθαλμοὶ 12
αὐτοῦ φλὸξ πυρὸς, καὶ ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ διαδήματα πολλά· ἔχων ὀνόματα
γεγραμμένα, καὶ ὄνομα γεγραμμένον, ὃ οὐδεὶς
οἶδεν εἰ μὴ αὐτός· καὶ περιβεβλημένος ἱμά- 13
τιον βεβαμμένον αἵματι· καὶ καλεῖται τὸ
ὄνομα αὐτοῦ, ὁ λόγος τοῦ θεοῦ. καὶ τὰ στρα- 14
τεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ
ἐπὶ ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον
λευκὸν καὶ καθαρόν· καὶ ἐκ τοῦ στόματος αὐτοῦ 15
ἐκπορεύεται ῥομφαία δίστομος, ὀξεῖα, ἵνα ἐν
αὐτῇ πατάξῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ
αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν
ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ θεοῦ
τοῦ παντοκράτορος. καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον 16
καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον,
βασιλεὺς βασιλέων, καὶ κύριος κυρίων. καὶ 17
εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ ἔ-
κραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρ-
νέοις τοῖς πετωμένοις ἐν μεσουρανήματι,
δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα
τοῦ θεοῦ· ἵνα φάγητε σάρκας βασιλέων, καὶ 18
σάρκας χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν, καὶ
σάρκας ἵππων, καὶ τῶν καθημένων ἐπ' αὐτῶν,
καὶ σάρκας πάντων, ἐλευθέρων τε καὶ δού-
λων, μικρῶν τε καὶ μεγάλων. καὶ εἶδον τὸ 19
θηρίον, καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ
στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πό-
λεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ
μετὰ τοῦ στρατεύματος αὐτοῦ. καὶ ἐπιάσθη τὸ 20
θηρίον, καὶ μετ' αὐτοῦ ὁ ψευδοπροφήτης ὁ
ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐ-
πλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ
θηρίου,

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι
αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λί-
21 μνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ. καὶ
οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ
καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ
στόματος αὐτοῦ. καὶ πάντα τὰ ὄρνεα ἐχορ-
τάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

κ'.

1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ
οὐρανοῦ, ἔχοντα τὴν κλεῖν τῆς ἀβύσσου, καὶ ἅλυσιν
2 μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. καὶ ἐκράτη-
σε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι
διάβολος καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμέ-
3 νην ὅλην, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη· καὶ ἔ-
βαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε, καὶ
ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι
τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· καὶ μετὰ
4 ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον. καὶ
εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρί-
μα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελε-
κισμένων διὰ τὴν μαρτυρίαν ἰησοῦ, καὶ διὰ
τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ
θηρίῳ, οὔτε τῇ εἰκόνι αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ
χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν
χεῖρα αὐτῶν· καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ τοῦ
5 χριστοῦ χίλια ἔτη. καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ
ἔζησαν ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· αὕτη ἡ
6 ἀνάστασις ἡ πρώτη. μακάριος καὶ ἅγιος ὁ
ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ
τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξου-
σίαν· ἀλλ' ἔσονται ἱερεῖς τοῦ θεοῦ, καὶ τοῦ χριστοῦ,
7 καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη. καὶ ὅ-
ταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται ὁ σα-
τανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ· καὶ ἐξελεύσεται
πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γω-
νίαις τῆς γῆς, τὸν γὼγ καὶ τὸν μαγώγ, συναγα-
γεῖν αὐτοὺς εἰς τὸν πόλεμον· ὧν ὁ ἀριθμὸς ὡς ἡ
8 ἄμμος τῆς θαλάσσης. καὶ ἀνέβησαν ἐπὶ τὸ
πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν
9 τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ
κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, καὶ
10 κατέφαγεν αὐτούς. καὶ ὁ διάβολος ὁ πλανῶν
αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ
θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφή-
της, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς
11 τοὺς αἰῶνας τῶν αἰώνων. καὶ εἶδον θρόνον μέγαν
λευκὸν, καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ
προσώπου ἔφυγεν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ τόπος
12 οὐχ εὑρέθη αὐτοῖς. καὶ εἶδον τοὺς νεκροὺς, τοὺς
μικροὺς καὶ τοὺς μεγάλους ἑστῶτας ἐνώπιον τοῦ
θρόνου, καὶ βιβλία ἠνεῴχθησαν· καὶ ἄλλο βιβλίον
ἀνεῴχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νε-
κροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ
τὰ ἔργα αὐτῶν. καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν
αὐτῇ νεκροὺς, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν
τοὺς ἐν αὐτοῖς νεκρούς· καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ
ἔργα αὐτῶν. καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν 14
εἰς τὴν λίμνην τοῦ πυρός· οὗτός ἐστιν ὁ θά-
νατος ὁ δεύτερος ἡ λίμνη τοῦ πυρός. καὶ εἴ
τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμ-
μένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

κα'.

Καὶ εἶδον οὐρανὸν καινὸν, καὶ γῆν καινήν· ὁ 1
γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλ-
θε, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. καὶ τὴν πόλιν τὴν 2
ἁγίαν ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνου-
σαν ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ ἡτοιμασμέ-
νην, ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ
αὐτῆς. καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρα- 3
νοῦ, λεγούσης, ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀν-
θρώπων, καὶ σκηνώσει μετ' αὐτῶν· καὶ αὐτοὶ
λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ θεὸς ἔσται μετ'
αὐτῶν. καὶ ἐξαλείψει πᾶν δάκρυον ἀπὸ τῶν ὀ- 4
φθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι,
οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται
ἔτι, ὅτι τὰ πρῶτα ἀπῆλθον. καὶ εἶπεν ὁ κα- 5
θήμενος ἐπὶ τοῦ θρόνου, ἰδοὺ καινὰ ποιῶ πάν-
τα. καὶ λέγει μοι, γράψον· ὅτι οὗτοι οἱ λόγοι ἀ-
ληθινοὶ καὶ πιστοί εἰσι. καὶ εἶπέ μοι, γέγονα τὸ 6
α καὶ τὸ ω, ἀρχὴ καὶ τέλος· ἐγὼ τῷ διψῶντι
δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δω-
ρεάν. ὁ νικῶν κληρονομήσει ταῦτα, καὶ ἔσο- 7
μαι αὐτῷ θεὸς, καὶ αὐτὸς ἔσται μοι υἱός. τοῖς 8
δὲ δειλοῖς, καὶ ἀπίστοις, καὶ ἁμαρτωλοῖς, καὶ
ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρνοις, καὶ φαρ-
μακοῖς, καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευ-
δέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομέ-
νῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτε-
ρος. καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐ- 9
χόντων τὰς ἑπτὰ φιάλας γεμούσας τῶν ἑπτὰ
πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ' ἐμοῦ,
λέγων, δεῦρο, δείξω σοι τὴν γυναῖκα, τὴν νύμ-
φην τοῦ ἀρνίου. καὶ ἀπήνεγκέ με ἐν πνεύματι 10
ἐπ' ὄρος μέγα καὶ ὑψηλὸν, καὶ ἔδειξέ μοι τὴν
πόλιν τὴν μεγάλην ἁγίαν ἱερουσαλὴμ κα-
ταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἔχου- 11
σαν τὴν δόξαν τοῦ θεοῦ· ὁ φωστὴρ αὐτῆς ὅμοιος
λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυ-
σταλλίζοντι· ἔχουσαν τεῖχος μέγα καὶ ὑψη-
λόν· ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς 12
πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐ-
πιγεγραμμένα, ἅ ἐστι τῶν δώδεκα φυλῶν τῶν
υἱῶν ἰσραήλ. ἀπὸ ἀνατολῶν πυλῶνες τρεῖς, 13
καὶ ἀπὸ βορρᾶ πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυ-
λῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν πυλῶνες τρεῖς.
καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώ- 14
δεκα,

δεκα, καὶ ἐπ' αὐτοῖς δώδεκα ὀνόματα τῶν δώ-
14 δεκα ἀποστόλων τοῦ ἀρνίου. καὶ ὁ λαλῶν μετ'
15 ἐμοῦ εἶχε μέτρον κάλαμον χρυσοῦν, ἵνα με-
16 τρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ ἡ πό-
λις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς
ὅσον τὸ πλάτος. καὶ ἐμέτρησε τὴν πόλιν τῷ
καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων
δώδεκα. τὸ μῆκος, καὶ τὸ πλάτος, καὶ τὸ ὕ-
17 ψος αὐτῆς ἴσα ἐστί. καὶ ἐμέτρησε τὸ τεῖχος αὐ-
τῆς ἑκατὸν τεσσαράκοντα τεσσάρων πηχῶν,
18 μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου. καὶ ἦν ἡ ἐν-
δόμησις τοῦ τείχους αὐτῆς ἴασπις· καὶ ἡ πόλις
19 χρυσίον καθαρὸν, ὅμοιον ὑάλῳ καθαρῷ. καὶ
οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λί-
θῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶ-
τος, ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος,
20 χαλκηδών· ὁ τέταρτος, σμάραγδος· ὁ πέμ-
πτος, σαρδόνυξ· ὁ ἕκτος, σάρδιος· ὁ ἕβδομος,
χρυσόλιθος· ὁ ὄγδοος, βήρυλλος· ὁ ἔνατος, το-
πάζιον· ὁ δέκατος, χρυσόπρασος· ὁ ἑνδέ-
κατος, ὑάκινθος· ὁ δωδέκατος, ἀμέθυ-
21 στος. καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαρ-
γαρῖται, ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ
ἑνὸς μαργαρίτου· καὶ ἡ πλατεῖα τῆς πόλεως χρυ-
22 σίον καθαρὸν, ὡς ὕαλος διαυγής. καὶ ναὸν οὐκ
εἶδον ἐν αὐτῇ· ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντο-
23 κράτωρ, ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον. καὶ ἡ πό-
λις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης,
ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ θεοῦ ἐ-
24 φώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. καὶ
περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐ-
τῆς· καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν
25 καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν. καὶ οἱ πυλῶνες
αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας. νὺξ γὰρ οὐκ ἔ-
26 σται ἐκεῖ. καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν
27 ἐθνῶν εἰς αὐτήν. καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν
πᾶν κοινὸν, καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος,
εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς
ζωῆς τοῦ ἀρνίου.

κβ.

1 Καὶ ἔδειξέ μοι ποταμὸν καθαρὸν ὕδα-
τος ζωῆς, λαμπρὸν ὡς κρύσταλλον, ἐκπο-
ρευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ, καὶ τοῦ ἀρνίου.
2 ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ,
ἐντεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς, ποιοῦν καρ-
ποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοῦν τὸν
καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θε-
3 ραπείαν τῶν ἐθνῶν. καὶ πᾶν κατάθεμα οὐκ
ἔσται ἐκεῖ. καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν
αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν
4 αὐτῷ. καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ· καὶ τὸ ὄ-
5 νομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ νὺξ οὐκ
ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι λύχνου, καὶ
φωτὸς ἡλίου· ὅτι κύριος ὁ θεὸς φωτίζει αὐ-
τούς. καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. καὶ λέγει μοι, οὗτοι οἱ λόγοι πιστοὶ καὶ 6
ἀληθινοί. καὶ κύριος ὁ θεὸς τῶν ἁγίων προ-
φητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι
τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.
ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς 7
λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου. κά- 8
γὼ ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα. καὶ
ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι
ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύν-
τός μοι ταῦτα. καὶ λέγει μοι, ὅρα μή· σύνδουλός 9
σου εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, τῶν τη-
ρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ
προσκύνησον. καὶ λέγει μοι, μὴ σφραγίσῃς 10
τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου·
ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν. ὁ ἀδικῶν ἀδικησά- 11
τω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι· καὶ ὁ
δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅ-
γιος ἁγιασθήτω ἔτι. ἰδοὺ ἔρχομαι ταχὺ, καὶ 12
ὁ μισθός μου μετ' ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς
τὸ ἔργον ἔσται αὐτοῦ. ἐγὼ τὸ α καὶ τὸ ω, ἀρχὴ 13
καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος. μακάριοι 14
οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ
ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς
πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. ἔξω οἱ κύ- 15
νες, καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ φο-
νεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς φιλῶν καὶ
ποιῶν ψεῦδος. ἐγὼ ἰησοῦς ἔπεμψα τὸν ἄγγε- 16
λόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκ-
κλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ
δαβίδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ ὀρθρινός. καὶ 17
τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν, ἔρχου. καὶ ὁ
ἀκούων εἰπάτω, ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω,
ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν. μαρ- 18
τυρῶ ἐγὼ παντὶ ἀκούοντι τοὺς λόγους τῆς προ-
φητείας τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπ'
αὐτὰ, ἐπιθήσει ἐπ' αὐτὸν ὁ θεὸς τὰς ἑπτὰ
πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ
τούτῳ. καὶ ἐάν τις ἀφαιρῇ ἀπὸ τῶν λόγων τοῦ 19
βιβλίου τῆς προφητείας ταύτης, ἀφαιρήσει ὁ
θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ
ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν
τῷ βιβλίῳ τούτῳ. λέγει ὁ μαρτυρῶν ταῦ- 20
τα· ναὶ ἔρχομαι ταχύ· ἀμήν. ναί, ἔρχου
κύριε ἰησοῦ. ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ 21
μετὰ πάντων τῶν ἁγίων. ἀμήν.

ΤΕΛΟΣ.

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Collegij Societatis Jesu
[redacted]

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN